ρλ κ τ ζ

κατὰ τὸν δ· ὁ α ἄρα τὸν δ πολλαπλασιάσας
πεποίηκεν· ἀλλὰ μὴν καὶ ὁ β ἑαυτὸν πολλαπλασιάσας. τὸν γ πε
τὸν γ πεποίηκεν· ὁ ἄρα ἐκ τῶν α δ ἴσος ἐστὶ τῷ ἀπὸ
τοῦ β· ἔστιν ἄρα ὡς ὁ α πρὸς τὸν β ὁ β πρὸς τὸν δ· τοῖς
α β ἄρα τρίτος ἀριθμὸς προσεύρηται ὁ δ· ἀλλὰ δὴ
μὴ μετρείτω ὁ α τὸν γ· λέγω ὅτι τοῖς α β ἀδύνατόν ἐστι
τρίτον ἀνάλογον προσευρεῖν ἀριθμόν· εἰ γὰρ δυ
νατὸν προσευρήσθω ὁ δ· ὁ ἄρα ἐκ τῶν α δ ἴσος
ἐστὶ τῷ ἀπὸ τοῦ β· ὁ δὲ ἀπὸ τοῦ β ἐστὶν ὁ γ· ὁ ἄρα ἐκ
τῶν α δ ἴσος ἐστὶ τῷ γ· ὥστε
ὁ α τὸν δ πολλαπλασιάσας
τὸν γ πεποίηκεν· ὁ α ἄρα
τὸν γ μετρεῖ κατὰ τὸν δ· ἀλλὰ
μὴν ὑπόκειται καὶ μὴ μετρῶν·
ὅπερ ἄτοπον· οὐκ ἄρα δυ
νατόν ἐστι τοῖς α β τρίτον ἀ
νάλογον προσευρεῖν ἀρι
θμὸν ὅταν ὁ α τὸν γ μὴ μετρῇ :-



λέγει καὶ ἴσως πότε δυνατόν ἐστι
ὁ α τῶν β γ μετρεῖ πρόβλη
[illegible] εἰ δὲ
οὐ μετρεῖ ὁ α τῶν β γ ἀδύνα
τον αὐτοῖς τέταρτον ἀνάλογον προσευρεῖν· οἷον
ὁ μὲν α τρία· ὁ δὲ β ἕξ· ὁ δὲ γ ἑπτά·
καὶ ἀδύνατον· εἰ δὲ ὁ β εἴη πέντε
οὐκέτι ἀδύνατον· καὶ ἁπλῶς ὅτε μὲν ὁ β πολ
λαπλάσιος τοῦ α δυνατὸν τέταρτον ἀνά
λογον εὑρεῖν· εἰ δὲ μή, ἀδύνατον

Τριῶν ἀριθμῶν δοθέντων, ἐπισκέψασθαι πότε δυνατόν
ἐστιν αὐτοῖς τέταρτον ἀνάλογον προσευρεῖν· ἔστω
σαν οἱ δοθέντες τρεῖς ἀριθμοὶ οἱ α β γ. καὶ δέον ἔστω
ἐπισκέψασθαι πότε δυνατόν ἐστιν αὐτοῖς τέταρτον ἀ
νάλογον προσευρεῖν· οἱ δὴ α β γ ἤτοι ἑξῆς εἰσιν
ἀνάλογον καὶ οἱ ἄκροι αὐτῶν οἱ α γ πρῶτοι πρὸς
ἀλλήλους εἰσίν. ἢ οὔ· ἢ μὲν οὖν οἱ α β γ ἑξῆς εἰσιν
ἀνάλογον καὶ οἱ ἄκροι αὐτῶν οἱ α γ πρῶτοι πρὸς

ρλ γ τ ζ

ιγ τ ζ

οὐ δ' ἀδύνατον [illegible] τῶν α γ πρώτων ὄντων γενέσθω ὁ α πρὸς τὸν γ πρὸς ἀλλήλους τινά· τὸ δὲ ποιεῖ [illegible] ὁ β πρὸς τὸν γ ὁ α πρὸς ἄλλον τινά [illegible]
[illegible] ἐὰν μὴ οἱ δοθέντες τρεῖς ἀριθμοὶ ἑξῆς ὦσιν ἀνάλογον ὡς ἐὰν μὴ οἱ ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους ὡς ἀδύνατον ἢ [illegible] τέταρτον ἀνάλογον εὑρεῖν [illegible]
ἐὰν δὲ μὴ πρῶτοι πρὸς ἀλλήλους ὦσιν, ὁ δὲ πρῶτος τὸν ἐκ τοῦ δευτέρου καὶ τρίτου μὴ μετρῇ, ἀδύνατον ἢ [illegible] τέταρτον ἀνάλογον προσευρίσκειν [illegible]
καὶ ἐὰν οἱ α β γ μὴ ὦσιν ἑξῆς ἀνάλογον καὶ ἐπὶ τοῦ τὰ αὐτὰ ῥητέον. τρεῖς οὖν ἀριθμῶν δοθέντων διχῶς δυνάμεθα τέταρτον ἀνάλογον [illegible] καὶ ἐπὶ τέταρτον καὶ [illegible] ἐφεξῆς τὰ αὐτὰ ῥητέον

ἀλλήλους εἰσί· δέδεικται ὅτι ἀδύνατόν ἐστιν αὐτοῖς τέταρ
τον ἀνάλογον προσευρεῖν ἀριθμόν· ἔστω δὲ ὁ β τὸν γ πολ
λαπλασιάσας τὸν δ ποιείτω· ὁ δὴ α τὸν δ ἤτοι μετρεῖ
ἢ οὐ μετρεῖ· μετρείτω πρότερον κατὰ τὸν ε· ὁ α ἄρα
τὸν ε πολλαπλασιάσας τὸν δ πεποίηκεν· ἀλλὰ μὴν
καὶ ὁ β τὸν γ πολλαπλασιάσας τὸν δ πεποίηκεν· ὁ
ἄρα ἐκ τῶν α ε ἴσος ἐστὶ τῷ ἐκ τῶν β γ· ἀνάλογον ἄ
ρα ἐστὶν ὡς ὁ α πρὸς τὸν β ὁ γ πρὸς τὸν ε· τοῖς α β γ ἄ
ρα τέταρτος ἀνάλογον προσηύρηται ὁ ε· ἀλλὰ δὴ μὴ
μετρείτω ὁ α τὸν δ· λέγω ὅτι ἀδύνατόν ἐστι τοῖς α β γ
τέταρτον ἀνάλογον προσευρεῖν ἀριθμόν· εἰ γὰρ δυνα
τόν, προσευρήσθω ὁ ε· ὁ ἄρα ἐκ τῶν α ε ἴσος ἐστὶ τῷ
ἐκ τῶν β γ· ἀλλ' ὁ ἐκ τῶν β γ
ἐστὶν ὁ δ· καὶ ὁ ἐκ τῶν α ε ἄρα
ἴσος ἐστὶ τῷ δ· ὁ α ἄρα τὸν ε
πολλαπλασιάσας τὸν δ πε
ποίηκεν· ὁ α ἄρα τὸν δ με
τρεῖ κατὰ τὸν ε· ὥστε μετρεῖ
ὁ α τὸν δ· ἀλλὰ καὶ οὐ μετρεῖ· ὅ
περ ἄτοπον· οὐκ ἄρα δυνα
τόν ἐστι τοῖς α β γ τέταρτον ἀ
νάλογον προσευρεῖν ἀριθμόν, ὅταν ὁ α τὸν δ μὴ μετρῇ :-

ρκ γ τ ζ



※ κ

Οἱ πρῶτοι ἀριθμοὶ πλείους εἰσὶ παντὸς τοῦ προτε
θέντος πλήθους πρώτων ἀριθμῶν ~~πρῶτοι ἀριθμοί~~· ἔστωσαν οἱ προ
τεθέντες πρῶτοι ἀριθμοὶ οἱ α β γ· λέγω ὅτι τῶν α β γ
πλείους εἰσὶ πρῶτοι ἀριθμοί· εἰλήφθω γὰρ ὁ ὑπὸ

ρλ λη τ ζ

※ ἐν τῷ [illegible] ἀεὶ [illegible] βούλεται ὅτι ἄπειροί εἰσιν οἱ πρῶτοι ἀριθμοί· εἰ καὶ τοῦ προτεθέντος ἀριθμοῦ πλείους εἰσὶν οἱ πρῶτοι, δηλονότι ἄπειροί εἰσιν
[illegible] εἰ δὲ [illegible] ἔν τισι [illegible] φιλοσοφ[illegible] τὰ πρῶτα [illegible] ὡρισμένα [illegible] ἀριθμῶν ἐλάττονα [illegible] λέγει
πρῶτοι ἀριθμοὶ οὐκ [illegible] ἀριθμῶν ἀλλ' [illegible] ἐστὶν ἐν τῷ ἀριθμῷ [illegible]
ἄπειρα ἄλλα [illegible]

BIBLIOTHECA BODLEIANA

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo